ἀποκατασταθῇ ὅθεν ἤρξατο φέρεσθαι, τὸ περιληφθὲν
σχῆμα. Ἄξων δὲ τοῦ κυλίνδρου ἐστὶν ἡ μένουσα εὐθεῖα
περὶ ἣν τὸ παραλληλόγραμμον στρέφεται. Βάσεις
δὲ οἱ κύκλοι οἱ ὑπὸ τῶν ἀπεναντίον περιαγομένων
δύο πλευρῶν γραφόμενοι. Ὅμοιοι κῶνοι καὶ κύλινδροί
εἰσιν, ὧν οἵ τε ἄξονες καὶ αἱ διάμετροι τῶν βάσεων
ἀνάλογόν εἰσιν. Κύβος ἐστὶ σχῆμα στερεὸν ὑπὸ ἓξ τε-
τραγώνων ἴσων περιεχόμενον. Ὀκτάεδρόν ἐστι σχῆ-
μα στερεὸν ὑπὸ ὀκτὼ τριγώνων ἴσων καὶ ἰσοπλεύρων
περιεχόμενον. Δωδεκάεδρόν ἐστι σχῆμα στερεὸν
ὑπὸ δώδεκα πενταγώνων ἴσων καὶ ἰσοπλεύρων καὶ ἰ-
σογωνίων περιεχόμενον. Εἰκοσάεδρόν ἐστι σχῆ-
μα στερεὸν ὑπὸ εἴκοσι τριγώνων ἴσων καὶ ἰσοπλεύ-
ρων περιεχόμενον:

α
Εὐθείας γραμμῆς μέρος μέν τι οὐκ ἔστιν ἐν τῷ ὑποκει-
μένῳ ἐπιπέδῳ, μέρος δέ τι ἐν μετεωροτέρῳ.
Εἰ γὰρ δυνατόν, εὐθείας γραμμῆς τῆς ΑΒΓ μέρος
μέν τι τὸ ΑΒ ἔστω ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ, μέ-
ρος δέ τι τὸ ΒΓ ἐν μετεωροτέρῳ. ἔσται δή τις τῇ ΑΒ
συνεχὴς εὐθεῖα ἐπ' εὐθείας ἐν τῷ ὑποκειμένῳ ἐπι-
πέδῳ. ἔστω ἡ ΒΔ. δύο δοθεισῶν εὐθειῶν τῶν ΑΒΓ
ΑΒΔ. κοινὸν τμῆμά ἐστιν ἡ ΑΒ. ὅπερ ἐστὶν ἀδύνα-
τον· εὐθεῖα γὰρ εὐθείᾳ οὐ συμβάλλει κατὰ πλείονα
σημεῖα ἢ καθ' ἕν· εἰ δὲ μή, ἐφαρμόσουσιν ἀλ-
λήλαις αἱ εὐθεῖαι. εὐθείας ἄρα γραμμῆς μέρος
μέν τι οὐκ ἔστιν ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ. μέ-
ρος δέ τι ἐν μετε-
ωροτέρῳ.
ὅπερ ἔδει δεῖ-
ξαι:–

β
Ἐὰν δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, ἐν ἑνί εἰσιν ἐπι-
πέδῳ, καὶ πᾶν τρίγωνον ἐν ἑνί ἐστιν ἐπιπέδῳ. Δύ-
ο γὰρ εὐθεῖαι αἱ ΑΒ ΓΔ τεμνέτωσαν ἀλλήλας κατὰ τὸ Ε
σημεῖον. λέγω ὅτι αἱ ΑΒ ΓΔ ἐν ἑνί εἰσιν ἐπιπέδῳ. καὶ
πᾶν τρίγωνον ἐν ἑνί ἐστιν ἐπιπέδῳ. εἰλήφθω γὰρ
ἐπὶ τῶν ΕΓ ΕΒ τυχόντα σημεῖα τὰ Ζ Η. καὶ ἐπεζεύχθω-
σαν αἱ ΓΒ ΖΗ καὶ διήχθωσαν αἱ ΖΘ ΗΚ. λέγω πρῶτον
ὅτι τὸ ΕΒΓ τρίγωνον ἐν ἑνί ἐστιν ἐπιπέδῳ. εἰ γάρ
ἐστι τοῦ ΕΓΒ τριγώνου μέρος ἤτοι τὸ ΖΘΓ ἢ τὸ ΗΒΚ
ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ, τὸ δὲ λοιπὸν ἐν ἄλ-
λῳ. ἔσται καὶ μιᾶς τῶν ΕΓ ΕΒ εὐθειῶν μέρος μέν τι ἐν
τῷ ὑποκειμένῳ ἐπιπέδῳ. τὸ δὲ ἐν ἄλλῳ. εἰ δὲ τοῦ
ΕΓΒ τριγώνου τὸ ΖΓΒΗ μέρος ᾖ ἐν τῷ ὑποκειμέ-
νῳ ἐπιπέδῳ. τὸ δὲ λοιπὸν ἐν ἄλλῳ, ἔσται καὶ ἀμφο-
τέρων τῶν ΕΓ ΕΒ εὐθειῶν μέρος μέν τι ἐν τῷ ὑποκει-
μένῳ ἐπιπέδῳ. τὸ δὲ ἐν ἄλλῳ. ὅπερ ἄτοπον ἐ-
δείχθη. τὸ ἄρα ΕΓΒ
τρίγωνον ἐν ἑνί ἐστιν
ἐπιπέδῳ. ἐν ᾧ δὲ
ἐστι τὸ ΕΓΒ τρίγωνον.
ἐν τούτῳ καὶ ἑκατέρα
τῶν ΕΓ ΕΒ. ἐν ᾧ δὲ